DICCIONARIO

GRIEGO-ESPAÑOL

XIII d.C. **Lexicon quod Theaeteti uocatur** (*Lex.Tht.*)
Pintaudi, R.,«Lexicon quod Theaeteti uocatur», *JÖB* 25, 1976, pp. 105-120.

Pintaudi 1976.pdf

---

© Juan Rodriguez Somolinos, PabloA. García Pastor, 2006



Jahrbuch für Oesterreichische Byzantinistik 25, 1976, 105-120

ROSARIO PINTAUDI/FIRENZE

# LEXICON QUOD THEAETETI VOCATUR

## Introduzione

Il codice Laurenziano greco 57, 24[1] riporta dal foglio 43b al foglio 45b, attribuendola ad un certo Θεαίτητος, un'opera dal titolo περὶ ἀττικῶν ὀνομάτων.

Che si tratti in parte di un estratto di scolii platonici, che il nome Teeteto non indichi l'autore, ma il dialogo di Platone, dal quale sono ricavati i primi lemmi[2] fu sinteticamente notato da A. Kopp nel 1887[3].

Nel 1927 S. Lindstam[4], e più completamente, dodici anni dopo, W. I. W. Koster[5] esaminavano il lessico laurenziano presentando, il primo, i lemmi platonici iniziali, dando, il secondo, un'edizione parziale: trascurava, cioè, di riportare nella loro completezza le glosse derivate dagli scolii platonici, dalla manipolazione del testo di Platone e dal lessico di Suida, limitandosi a darne l'inizio e la fine. Complete erano, invece, le glosse, che non mostravano agganci con testi già noti, e quelle aggiunte in margine da un'altra mano[6].

Il lavoro del Koster, conciso ed attento, quindi, se ha il merito indubitabile di farci conoscere più ampiamente dei suoi due predecessori un lessico „nuovo", non permette, però, di rendersi conto del tipo di lavoro compilatorio realizzato sul testo platonico e su quello degli scolii. Non analizza, inoltre, il codice Ambrosiano greco M 51 sup. (Martini e Bassi cod. gr. 516)[7], che, dal

[1] L. Codice cartaceo del XIV–XV secolo; la sua descrizione in Ang. Mar. Bandinius, Catalogus Codicum Graecorum Bibliothecae Laurentianae, tom. II. Florentiae 1768, 367–372.

[2] διωλύγιος φλυαρία; οὐ μόνον αὐτὸς ὑηνεῖς; πολλοῦ δέω τὸ μὴ φάναι εἶναι; nell'ordine Pl. Thb. 162a; 166c; 166d.

[3] A. Kopp, Beiträge zur griechischen Excerpten-Litteratur. Berlin 1887, 71. Della sua esatta intuizione sulla paternità e sul carattere di questo lessico non fa menzione chi se ne è occupato successivamente.

[4] S. Lindstam, De Theaeteto grammatico. *Eranos* 25 (1927) 280–282.

[5] W. I. W. Koster, Theaeteti grammatici notitia plenior. *Mnemosyne* 7 (1939) 63–75; id., Theaetetus pseudogrammaticus. *JHSt* 87 (1967) 131–132.

[6] Koster, Theaeteti grammatici 65: „Operae igitur pretium non est totum opusculum typis reddere, ex quo nihil discamus, quod non aliunde cognoverimus. Itaque eas partes, quae a Platone eiusque Scholiis et Suida originem ducunt, locis singulis indicatis publici iuris facere satis duco". Della stessa opinione era stato anche Lindstam, op. l. 281: „. . . sperabam enim fore, ut is grammaticus ope meo e somno expergeretur, quem nunc eundem in perpetuum dormire iubebo".

[7] A. Codice cartaceo del XV secolo; la sua descrizione in Ae. Martini et D. Bassi, Catalogus Codicum Graecorum Bibliothecae Ambrosianae. Milano 1906, II 620–622.

R 60.669

foglio 165b al foglio 168b, riporta, con un titolo leggermente diverso[8], questo lessico, limitato, però, alla parte degli scolii platonici, senza i lemmi del Cratilo, che del lessico laurenziano costituiscono la parte centrale, e di Suida. La situazione dei rapporti tra i due testimoni del testo di questo lessico si complica in quanto che dopo la glossa platonica δευσοποιόν (Pl. R. 429e) il copista di A inserisce[9] tre etimologie del Cratilo, analoghe ma non uguali a quelle riportate da L. Cioè: *Ταλάντατος· ἀτυχέστατος. Ποσίδεσμος· ἢ ὁ πολλὰ εἰδώς· ἢ ὁ σείων. ἄρρατον·* τὸ σκληρὸν καὶ ἀμετάστροφον.

Si pongono, quindi, le domande: che rapporti intercorrono tra A ed L? Chi si avvicina di più ad una fonte eventualmente in comune?

Se il codice Ambrosiano non riportasse altro dopo δευσοποιόν, ma concludesse così l'excerptum da scolii platonici, si potrebbe pensare che il testo di questo codice sia quello più aderente ad una fonte precedente, che riportava abbreviata, a volte alterata, soltanto la tradizione scoliastica platonica. Il codice Laurenziano, invece, per aver inserito le etimologie del Cratilo, i lemmi di Suida ed altri non identificabili con la tradizione nota, sembra avere avuto a disposizione una fonte diversa, o avere manipolato un testo comune in maniera personale. Si potrebbe, però, anche pensare al codice A come copia di L; una copia dotta, in cui erano trascurate le etimologie riprese dal Cratilo e copiati soltanto i lemmi platonici, salvo poi ad introdurre, per motivi che a noi sfuggono, tre glosse, e neppure complete, della parte trascurata[10].

Uniche certezze sono che con i lemmi platonici si conclude il lessico nel codice Ambrosiano, e che a questo punto nel codice Laurenziano con δευσοποιόν finisce, visivamente indicato con tre puntini all'estremità destra del rigo e con l'ectesi della glossa successiva[11], la sezione platonica di questo lessico.

Riassuntivamente si potrebbe schematizzare la tradizione presupponendo un archetipo α, con errori[12], che riportava soltanto le glosse degli scolii platonici; da questo sarebbero derivati due sub-archetipi β e γ, in cui β, trasmettendo queste glosse, avrebbe aggiunto le etimologie del Cratilo, giunte a noi nel codice L, mentre γ si sarebbe mantenuto più fedele ad α, trasmettendo ad A,

[8] Θεαίτητος περὶ ἀττικῶν ὀνομάτων καὶ ῥημάτων.

[9] All'inizio del foglio 168b.

[10] Non si può neppure chiamare in causa l'horror vacui, il desiderio di completare la pagina, dato che questi tre lemmi sono proprio all'inizio del foglio 168b.

[11] ἐκπλήττομαι.

[12] Se ne hanno traccie in entrambi i nostri testimoni: r. 152 γέρρα L e c. τέρρα L a.c. A; l'archetipo aveva probabilmente τέρρα. Così al r. 35 L A riportano ὦ μᾶσται (sic), per l'esatto ὦ Μοῦσαι. Altre volte abbiamo, invece, delle omissioni di A rispetto ad L, insufficienti, però, a far presupporre una dipendenza diretta dell'uno dall'altro: al r. 14 ⟦ὀργῶντι⟧ espunto da L non è riportato da A; così al r. 7 A riporta ἀσκωλιάζοντες· κυρίως κτλ., senza la precisazione ἀσκωλιάζειν di L (coincidente con il ramo W della tradizione scoliastica di Platone).

oltre ad un titolo più completo[13], le sole glosse platoniche. La presenza di alcuni lemmi del Cratilo in A potrebbe spiegarsi presupponendo la contaminazione in una fase intermedia degli schematici passaggi rappresentati; meno probabile è pensare che A abbia contaminato da L[14].

Siamo, perciò, di fronte a due manoscritti paralleli, ma questo parallelismo è giustificato soprattutto da un punto di vista strutturale, non rifacendosi come faceva il Koster[15] al fatto che il Laurenziano presenta come primo lemma ἰωλύγιος rispetto al διωλύγιος dell'Ambrosiano: ciò che era letto, probabilmente in riproduzione, come spirito è soltanto un foro nella carta, la lettera iniziale dovendo essere scritta dopo, in ectesi e di modulo più ampio[16].

## Sigla et Abbreviationes

| | | | |
|---|---|---|---|
| L | Laurentianus graecus 57, 24, s. XIV—XV | {ααα} | Expunxi |
| | | ⟦ααα⟧ | Scriba expunxit |
| L² | L manus altera | \`ααα´ | Verba litteraeque superposita |
| A | Ambrosianus graecus M 51 sup. (Martini et Bassi cod. gr. 516) s. XV | a. c. | ante correctionem |
| | | e c. | e correctione |
| | | ecth. | ecthesis |
| ⟨ααα⟩ | Includuntur verba, quae desunt in codicibus, e Sch. Pl., Su., vel e coniectura addita. | l. l. | locus laudatus |
| | | op. l. | opus laudatum |

| | |
|---|---|
| Ael. V. H. | Claudii Aeliani Varia Historia, ed. R. Hercher. Lipsiae 1887. |
| CPG | Corpus Paroemiographorum Graecorum, edd. E. L. Leutsch—F. G. Schneidewin. Göttingen 1839—1851 (Hildesheim 1958). |
| Diogen. | Diogenianus paroemiographus, in: CPG I. |
| Hdt. | Herodoti Historiarum Libri IX, ed. C. Hude. Oxonii ³1927. |
| Nauck | Tragicorum Graecorum Fragmenta, ed. A. Nauck. Lipsiae ²1889. |
| NT | Novum Testamentum Graece et Latine, ed. A. Merk. Roma ⁹1964. |
| Philostr. | Flavii Philostrati Opera, ed. C. L. Kayser. Lipsiae 1870—1871. |
| Pl. | Platonis Opera, ed. J. Burnet. Oxford 1900—1907. |
| Sch. Pl. | Scholia Platonica, ed. G. Greene. Oxford 1938. |
| Sch. Pr. | Procli Diadochi in Platonis Cratylum commentaria, ed. G. Pasquali. Lipsiae 1908. |
| Sol. | Solon Lyricus, in Iambi et Elegi Greci ante Alexandrum Cantati, ed. M. L. West, Vol. II. Oxonii 1972. |
| Su. | Suidae Lexicon, ed. A. Adler. Leipzig 1928—1939. |
| Syn. Ep. | Synesii Epistolae, in: Epistolographi Graeci, ed. R. Hercher. Parisiis 1873, 638—739. |

---

[13] Cf. n. 8.

[14] Lo schema proposto è soltanto esemplificativo; niente impedisce di pensare che l'archetipo α presentasse un lessico già completo dei lemmi del Cratilo, e che, quindi, il ramo L della tradizione sia più autentico.

[15] Koster, Theaeteti grammatici 65.

[16] Cf. il già menzionato ἐκπλήττομαι.

## Θεαίτητος περὶ ἀττικῶν ὀνομάτων καὶ ῥημάτων

1 διωλύγιος φλυαρία (Pl. Tht. 162a). μεγάλη, ἐπὶ πολὺ διήκουσα.

2 οὐ μόνον αὐτὸς ὑηνεῖς (Pl. Tht. 166c). ὑϊκόν τι καὶ ζῶδες ποιεῖς.

3 πολλοῦ δέω τὸ μὴ φάναι εἶναι (Pl. Tht. 166d). πόρρω λίαν εἰμί, οὐ βούλομαι λέγειν, σιωπῶ.

4 βλαύτας ὑποδεδεμένον (Pl. Smp. 174a). ὑποδήματα. οἱ δὲ σάνδάλια.

5 ἀσκωλιάζοντες (Pl. Smp. 190d). ἀσκωλιάζειν κυρίως μὲν ἐπὶ τῶν ἀληλιμμένων ἀσκῶν ἅλλεσθαι, γελοίου ἕνεκεν· τινὲς δὲ καὶ ἐπὶ τῶν συμπεφυκόσι τοῖς σκέλεσιν ἀλλομένων· ἢ ἐφ' ἑνός.

6 λίσπαι (Pl. Smp. 193a). αἱ λίαν ἐκτετριμμέναι καὶ ἄπυγοι, καὶ οἱ διαπεπρισμένοι ἀστράγαλοι. λίσποι οἱ Ἀθηναῖοι, ἐκ τῆς ἐν τῷ κωπηλατεῖν συνεχείας ἀπόγλουτοι ὄντες.

7 ὀκρίβας (cf. Pl. Smp. 194b). τὸ λογεῖον ἐφ' οὗ οἱ τραγῳδοὶ ἠγωνίζοντο.

8 σπαργῶντι (Pl. Smp. 206d). ὁρμῶντι, ὀργῶντι, ταραττομένῳ, ἀνθοῦντι. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν πεπλησμένων μαστῶν γάλακτος.

9 ψυκτήρ (cf. Pl. Smp. 213e). ἔνθα διανίζουσι τὰ ποτήρια, ἢ ποτηρίου εἶδος, ὡς Εὐριπίδης (Nauck fr. 726).

10 κοτύλη (cf. Pl. Smp. 214a). τρίτον μέρος τῆς χοινικίδος.

11 Σάτυροι (cf. Pl. Smp. 215b). Διονύσου ὀπαδοί· ἢ διὰ τὸ ἐν ὄρεσιν οἰκεῖν καὶ ἀλουτεῖν, τράγων σκέλη καὶ τρίχας ἔχειν παραδίδονται, καὶ ταύτῃ καλεῖσθαι ἀπὸ τοῦ σεσηρέναι (Ael. V. H. 3, 40) τῷ οἴνῳ, τουτέστι κεχηνέναι· φίλοινοι γάρ ⟨εἰσι⟩.

12 ἀρνακίδες (cf. Pl. Smp. 220b). τὰ τῶν ἀρνῶν κῴδια.

---

1 Sch. Pl. *l. l.*; Lgg. 890e 2 Sch. Pl. *l. l.* 3 Sch. Pl. *l. l.*; Ap. 30d; Phdr. 228a; R. 378c 4 Sch. Pl. *l. l.* 5 Sch. Pl. *l. l.* 6 Sch. Pl. *l. l.* 7 Sch. Pl. *l. l.* 8 Sch. Pl. *l. l.* 9 Sch. Pl. *l. l.* 10 Sch. Pl. *l. l.* 11 Sch. Pl. *l. l.* 12 Sch. Pl. *l. l.*

---

1 ὀνομάτων καὶ ῥημάτων A ὀνομάτων L 2 *desunt in* A *lemm. in marg.* διωλύγιος A ιωλύγιος L . . ιωλύδιος Bandinius ἰωλύγιος Koster 3 ὑηνεῖς Pl. *l. l.* ὑμνεῖς L A ὑϊκόν τι Sch. Pl. *l. l.* ἧκον τι L A πολλοῦ δέω *in marg.* L² 6 βλαύτας *in marg.* L² οἱ L *e c.* η *fort.* L *a. c.* 7 ἀσκωλιάζοντες *in marg.* L² ἀσκωλιάζειν κυρίως L ἀσκωλιάζοντες· κυρίως A 8 καὶ ἐπὶ τῶν Sch. Pl. *l. l.* καὶ ἐπὶ τοῖς L A 10 λισσαὶ λίσκοι *in marg.* L² λίσπαι A λισσαί L 11 λίσποι Sch. Pl. *l. l.* λίσκοι L A 12 ἀπόγλουτοι cf. Sch. Pl. *l. l.* ἀπόγλυτοι L A 13 ὀκρίβας *in marg.* L³ λογεῖον Sch. Pl. *l. l.* λόγιον L A 14 ὀργῶντι ⟦ὀργῶντι⟧ L 15 ἐπὶ τῶν πεπλησμένων μαστῶν γάλακτος L ἐπὶ πεπλησμένων γάλακτος μαστῶν A 16 ψυκτήρ *in marg.* L² 18 κοτύλη *in marg.* L² χοινικίδος L A χοίνικος *fort. legend. cf.* Sch. Pl. *l. l.* 19 Σάτυροι *in marg.* L² ἢ L οἱ A 22 γάρ ⟨εἰσι⟩ Sch. Pl. *l. l.* γάρ L A 23 ἀρνακάδες *in marg.* L²

13 ὄνοι κανθήλιοι (cf. Pl. Smp. 221e). οἱ βραδεῖς ἢ ἀφυεῖς, ἀπὸ κάνθωνος ὄνου, ὃς οὕτως ὠνομάσθη ἀπὸ τῶν κανθηλίων, τῶν ἐπιτιθεμένων αὐτῷ καμπτῶν ξύλων, ὅ ἐστι σαγμάτων.

14 κατὰ σχολήν (Pl. Phdr. 228a). ἐπ' αὐτὸ τοῦτο· ἐν εὐκαιρίᾳ.

15 ἁμῶς γέ πως (Pl. Phdr. 228c). ὁπωσδήποτε, καθ' ὀντιναοῦν τρόπον.

16 ὦ φιλότης (Pl. Phdr. 228d). ὦ φίλε.

17 Τυφῶνος πολυπλοκώτερον (Pl. Phdr. 230a). θηρίον ἔχον εἶδος ἀνδρὸς καὶ θηρίου.

18 συνεβάκχευσα (Pl. Phdr. 234d). σὺν σοὶ ἐπὶ τὸ κρεῖττον παρήλλαξα· ὅτι σαφῆ καὶ στρογγύλα, ἀκριβῶς ἕκαστα τῶν ὀνομάτων ἀποτετόρνευται (cf. Pl. Phdr. 234e).

19 ἄγετε δή, ὦ Μοῦσαι. εἴτε δι' ᾠδῆς εἶδος Λίγειαι, εἴτε διὰ γένος μουσικὸν τὸ Λιγύων (cf. Pl. Phdr. 237a).

20 λογογράφους (cf. Pl. Phdr. 257c). τοὺς ἐπὶ μισθῷ λόγους γράφοντας εἰς δικαστήρια, ῥήτορας δὲ τοὺς δι' ἑαυτῶν λέγοντας. ἡ ῥητορικὴ οὐκ ἔστι τέχνη ἀλλ' ἄτεχνος τριβή· τέχνη γὰρ ἄνευ τοῦ ἀληθείας ἧφθαι οὔτ' ἔστιν οὔτε μή ποτε γένηται (cf. Pl. Phdr. 260e). ἐὰν μὴ ἱκανῶς φιλοσοφήσῃ τις, οὐδὲ ἱκανός ποτε λέγειν ἔσται περὶ οὐδενός. ἡ ῥητορικὴ ἂν εἴη τέχνη ψυχαγωγία τις διὰ λόγων, οὐ μόνον ἐν δικαστηρίοις καὶ ὅσοι ἄλλοι δημόσιοι σύλλογοι, ἀλλὰ καὶ ἐν ἰδίοις, ἡ αὐτὴ σμικρῶν τε καὶ μεγάλων πέρι; (cf. Pl. Phdr. 261a—b).

21 {ὅτι} Λάχεσι μὲν λέγουσι τὰ γεγονότα (cf. Pl. R. 617c).

22 ἐνδύματα ἀμόργινα (cf. Pl. Ep. 363a). ἔστι δὲ ἄμοργις καὶ ἡ τοῦ ἐλαίου ὑποστάθμη καὶ ἡ τοῦ οἴνου τρύξ.

23 Ἰσθμός (cf. Pl. Criti. 110d). γῆ στενὴ ἀμφιθάλασσος.

24 σᾶ (Pl. Criti. 111c). τὰ σῶα, καὶ σῶν, τὸ σῶον Ἀττικῶς.

25 δίκη (Pl. Euthphr. 2a). ἡ ὑπὲρ ἰδιωτικῶν ἀδικημάτων κρίσις.

26 γραφή (cf. Pl. Euthphr. 2a). ἡ ὑπὲρ δημοσίων.

27 ἦ που (Pl. Euthphr. 4a). ἴσως, σχεδόν.

28 πελάτης (Pl. Euthphr. 4c). ὁ ὑπηρετῶν καὶ προσπελάζων.

---

13 Sch. Pl. *l. l.* 14 Sch. Pl. *l. l.*; Euthphr. 6c; Phdr. 228a; R. 388d; 610e; Sis. 387d 15 Sch. Pl. *l. l.*; Chrm. 175c; Sph. 259d; R. 474c; Lgg. 798b 16 Sch. Pl. *l. l.* 17 Sch. Pl. *l. l.* 18 Sch. Pl. *l. l.* 20 Sch. Pl. *l. l.* 21 Sch. Pl. *l. l.* 22 Sch. Pl. *l. l.* 23 Sch. Pl. *l. l.* 24 Sch. Pl. *l. l.* 25 Sch. Pl. *l. l.* 26 Sch. Pl. *l. l.* 27 Sch. Pl. *l. l.*; Plt. 285d 28 Sch. Pl. *l. l.*

---

24 ὄνοι κανθήλιοι *in marg.* L² κανθήλιοι L *e c.* κανδήλιοι L *a. c.* 27 κατὰ σχολήν *in marg.* L² ἐπ' αὐτὸ L ἐπὶ αὐτῶν A 28 ἁμῶς γέ πως *in marg.* L² καθ' ὀντιναοῦν L *et* Sch. Pl. *l. l.* καθ' ὀντινοῦν A 30 Τυφόνος πολυπλοκώτερον *in marg.* L² 33 στρογγῦλα L A 35 Μοῦσαι Pl. *l. l.* ὦ μᾶσται (*sic*) L A 37 λογογράφους ῥήτορας *in marg.* L² 39 ἀλλὰ ἄτεχνος L A 40 ἱκανός A ἱκανῶς L 44 ὅτι L A 49 δίκη *in marg.* L² 50 γραφή *in marg.* L²

29 αὐτοσχεδιάζοντα (Pl. Euthphr. 5a). ἐκ τοῦ αὐτομάτου λέγοντα.

30 ἵνα αἰδώς. ἔνθα καὶ δέος (cf. Pl. Euthphr. 12b).

31 Ὀρέστης. διὰ τὸ θηριῶδες καὶ ἄγριον καὶ ὀρεινόν (cf. Pl. Cra. 394e; Sch. Pr. 45, 18).

32 Ἀγαμέμνων. ἀγαστὸς κατὰ τὴν ὑπομονήν (cf. Pl. Cra. 395a—b; Sch. Pr. 45, 21).

33 Ἀτρεύς. διὰ τὸ ἄτρεστον καὶ ὠμόν (cf. Pl. Cra. 395b—c).

34 Πέλοψ. διὰ τὸ τὰ ἐγγὺς ὁρᾶν (cf. Pl. Cra. 395c).

35 Τάνταλος. ταλάντατος· ἀτυχέστατος· καὶ διὰ τὴν ὑπὲρ κεφαλῆς τοῦ λίθου ταντaλείαν (cf. Pl. Cra. 395c—d).

36 Ζεύς. ὁ αἴτιος τοῦ ζῆν (cf. Pl. Cra. 396a).

37 Κρόνος. ὁ καθαρώτατος καὶ ἀκήρατος νοῦς (cf. Pl. Cra. 396b).

38 Οὐρανός. ἡ τὰ ἄνω ὁρῶσα ὄψις (cf. Pl. Cra. 396b—c; Sch. Pr. 63, 25).

39 θεός. ἀπὸ τοῦ θεῖν (cf. Pl. Cra. 397d).

40 ἥρως. ἀπὸ τοῦ ἔρωτος· ἢ 'γάρ' οἱ θεοὶ θνηταῖς ἢ οἱ θνητοὶ θεαῖς συνερχόμενοι, τούτους ἔτικτον. ἢ ἀπὸ τοῦ εἴρειν, ὅ ἐστι λέγειν· διαλεκτικοί τινες ὄντες καὶ ῥήτορες (cf. Pl. Cra. 398c—d; Sch. Pr. 71, 8).

41 ἄνθρωπος. παρὰ τὸ ἄνω ἀθρεῖν ἃ ὄπωπεν· ὅ ἐστι λογίζεσθαι ἃ ἑώρακεν (cf. Pl. Cra. 399c).

42 ψυχή. παρὰ τὸ ψύχω· ἡ τὸ σῶμα ἀναψύχουσα. ἢ παρὰ τὸ τὴν φύσιν ὀχεῖν, φυσέχη (cf. Pl. Cra. 399d—400b).

43 σῶμα. οἱονεὶ σῆμα τῆς ψυχῆς, ὡς τεθαμμένης ἐν αὐτῷ· ἢ ὅτι ⟨ὃ⟩ ἂν σημαίνῃ ⟨ἡ⟩ ψυχὴ τοῦτο σημαίνει (cf. Pl. Cra. 400b—c; Grg. 493a).

44 Κρόνος καὶ Ῥέα. ἀπὸ τοῦ ῥεῖν· καὶ γὰρ τὰ ὄντα ποταμοῦ ῥοῇ ἀπείκασται (cf. Pl. Cra. 401c—402a).

45 Τηθύς. παρὰ τὸ διάπτειν καὶ διηθεῖν· πηγῆς γὰρ ἀπείκασμά ἐστι (cf. Pl. Cra. 402c—d; Sch. Pr. 83, 7).

46 Ποσειδῶν. ποσίδεσμος· ἢ πολλὰ εἰδώς· ἢ ὁ σείων (cf. Pl. Cra. 402e—403a).

47 Ἅιδης ὁ καὶ Πλούτων. ἀπὸ τοῦ πάντα τὰ καλὰ εἰδέναι καὶ παρέχειν· μέγας γὰρ σοφιστὴς καὶ εὐεργέτης τῶν παρ' αὐτῷ (cf. Pl. Cra. 403a, 404b, 403c).

48 Δημήτηρ. παρὰ τὴν δόσιν τῆς ἐδωδῆς (cf. Pl. Cra. 404b).

49 Ἥρα. ἐρατή τις (cf. Pl. Cra. 404b—c).

---

29 Sch. Pl. *l. l.*; Sis. 390b     30 Sch. Pl. *l. l.*; Ap. 17c.     35 Sch. Pl. *l. l.*

---

55 αἰτυμολογίαι τῶν ὀνομάτων τῶν Ἑλλήνων *in marg.* L² *desunt in* A *fere omnia lemm. Cra.* (55—114)   61 ταλάντατος· ἀτυχέστατος A 168b   62 ταντaλείαν L Pl.BT ταλαντείαν Spalding *in* Pl. *l. l.*   68 τινες L *e c.* τινα L *a. c.*   73 φυσεχή L   74—75 ⟨ὃ⟩ ἂν σημαίνῃ ⟨ἡ⟩ ψυχὴ *cf.* Pl. *l. l.* σημήνη L   80 Ποσίδεσμος· ἢ ὁ πολλὰ εἰδώς· ἢ ὁ σείων A 168b

50 Ἀπόλλων. Ἁπλῶν διὰ τὴν μαντικήν, Ἀειβάλλων διὰ τὴν τοξικήν, Ἀπολύων διὰ τὴν ἰατρικήν, Ὁμοπολῶν διὰ τὴν μαγικήν· τὰ πάντα γὰρ ἁρμονίᾳ πολεῖ. οὗτος δὲ ἐπιστατεῖ τῇ ἁρμονίᾳ (cf. Pl. Cra. 405a—d).

51 Ἄρτεμις. διὰ τὸ ἀρτεμὲς καὶ κόσμιον· ἡ μισήσασα τὸν τοῦ ἀνδρὸς ἄροτον. ἢ ἀρετῆς ἵστωρ (cf. Pl. Cra. 406b).

52 Διόνυσος. Διδοίνυσος (cf. Pl. Cra. 406c).

53 Ἀθηνᾶ. Θεονόη· ἡ τὰ θεῖα νοοῦσα (cf. Pl. Cra. 407b).

54 Ἥφαιστος. φάεος ἵστωρ· φαῖστος ὤν (cf. Pl. Cra. 407c).

55 Ἄρης. διὰ τὸ ἄρρεν καὶ ἀνδρεῖον. ἢ τὸ ἄρρατον· ὅ ἐστι σκληρὸν καὶ ἀμετάστροφον (cf. Pl. Cra. 407d).

56 Ἑρμῆς. Εἰρέμης. ὁ τὸ εἴρειν, ὅ ἐστι λέγειν, μησάμενος (cf. Pl. Cra. 408 a—b).

57 Πάν. ὁ τοῦ Ἑρμοῦ διφυὴς υἱός. ὁ γὰρ λόγος τὸ πᾶν περιπολῶν ἀψευδής τε καὶ ἀληθής. τὰ μὲν ἄνω, ὅ ἐστι τὰ θεῖα, λεῖος· τὰ δὲ κάτω, ὅ ἐστι τὰ ἀνθρώπινα, τραχὺς καὶ τραγοειδής (cf. Pl. Cra. 408b—d).

58 ἥλιος. ἀπὸ τοῦ ἁλίζειν εἰς αὐτὸν τοὺς ἀνθρώπους· ἢ ἀπὸ τοῦ ποικίλλειν καὶ αἰολεῖν τὰ γινόμενα (cf. Pl. Cra. 409a).

59 σελήνη. σέλας νέον ἔχουσα (Pl. Cra. 409a—b).

60 ἀστραπή. ἀναστρωπή τις· ἡ τὰ ὦπα ἀναστρέφουσα (cf. Pl. Cra. 409c).

61 ἀήρ. ἀεὶ ῥεῖ· ἢ ὅτι αἴρει τὰ ἀπὸ τῆς γῆς (cf. Pl. Cra. 410b).

62 φρόνησις. φορᾶς κίνησις (cf. Pl. Cra. 411d).

63 θῆλυ. ἀπὸ τῆς θηλῆς, τοῦτο ἀπὸ τοῦ θάλλειν καὶ ποιεῖν (cf. Pl. Cra. 414a).

64 τέχνη ἐχονόη τις· ὅ ἐστι ἕξις (cf. Pl. Cra. 414b—c).

65 κακία. ἀπὸ τοῦ κακῶς ἰέναι (cf. Pl. Cra. 415b).

66 ἀρετή. αἱρετή· ἢ ἀειρείτη. ἡ ἀσχέτως καὶ ἀκωλύτως ῥέουσα (cf. Pl. Cra. 415c—d).

67 ἵμερος. ὅτι ἱέμενος ῥεῖ (cf. Pl. Cra. 420a).

68 ἐπιθυμία. ἐπὶ τὸν θυμὸν ἰοῦσα (cf. Pl. Cra. 419d).

69 βέβαιον. βάσεως καὶ στάσεως μίμημα (cf. Pl. Cra. 437a).

70 ἁμῇ γέ πῃ (Pl. Sph. 259d). ἁμωσγέπως. ὁπωσδήποτε, καθ' ὁτιοῦν, λέγεται δὲ καὶ ἁμόθεν.

---

55 Sch. Pl. *l. l.*; R. 535b. 70 Sch. Pl. *l. l.*

---

86 Ἁπλῶν L Pl. B Ἄπλουν Boeckh *in* Pl. *l. l.* 87 διὰ τὴν μαγικήν L διὰ τὴν μουσικὴν *fort. legend. cf.* Pl. Cra. 405c 94—95 ἄρρατον· τὸ σκληρὸν καὶ ἀμετάστροφον A 168b 94 ἐστι L *e c.* 98 υἱός L *e c.* ὑός L *a. c.* 101 ἁλίζειν L 103 σελένεον L 104 ἀναστρωπή Pl. *l. l.* ἀναστραπή L ὦπα Pl. *l. l.* ὦτα L 106 κίνησις L νόησις *vel* ὄνησις *fort. legend. cf.* Pl. *l. l.* 108 ἐχονόη (*sic*) L *cf.* Pl. *l. l.* 110 ἀειρείτη *cf.* Pl. *l. l.* ἀεὶ ῥειτή L 114 καὶ L *e c.* στ L *a. c.* 115 ἁμῇ γέ πῃ Pl. *l. l. et* Sch. ἁμωγέπη L A

71 εἶεν (Pl. Plt. 257a). ἄγε δή. ἐγκατάθεσις μὲν τῶν εἰρημένων, συναφὴ δὲ πρὸς τὰ μέρη.
72 νεαλής (cf. Pl. Plt. 265b). ὁ πρόσφατος.
73 ἦ που (Pl. Plt. 285d). ἴσως, σχεδόν. ἤπουγε· πολλῷ πλέον.
74 κύρβεσι (Pl. Plt. 298e). τριγώνοις πίναξιν ἐν οἷς τοὺς ἱεροὺς καὶ πολιτικοὺς ἔγραφον νόμους. εἰσί δε καὶ τετράγωνοι πίνακες, οὓς ἔλεγον ἄξονας.
75 βλακικῷ (cf. Pl. Plt. 307c). εὐήθη, μωρά, ἀπὸ ἰχθύος βλακός.
76 λήθη. ἔστι μνήμης ἔξοδος, μνήμη δὲ σωτηρία αἰσθήσεως (cf. Pl. Phlb. 33e, 34a).
77 προσαγώγιον (cf. Pl. Phlb. 56c). τεκτονικὸν ὄργανον, ὃ προσάγοντες εὐθύνουσι τὰ στρεβλὰ ξύλα.
78 τευταζόντων (Pl. Phlb. 56e). φροντιζόντων.
79 τρίβων (cf. Pl. Smp. 219b). στολὴ ἔχουσα σημεῖα ὡς γραμμάτια. τριβώνιον δὲ ἱμάτιον παλαιόν.
80 δολιχοδρόμοι (cf. Pl. Prt. 335e) καὶ δρομοκήρυκες. οἱ ταῖς βασιλικαῖς διατάξεσι ταχύτητα διακονούμενοι.
81 ἴτας (Pl. Prt. 349e). τοὺς ἐπὶ πάντας ὁρμῶντας.
82 στλεγγίς (cf. Pl. Hp. Mi. 368c). ἡ ξύστρα καὶ τὸ κτένιον, καὶ στλεγγιζόμενοι οἱ ἀποξυόμενοι καὶ κτενιζόμενοι.
83 λήκυθος (cf. Pl. Hi. Mi. 368c). ἄγγος ἐν ᾧ τὸ μύρον ἔφερον τοῖς νεκροῖς. φάσκωλος, δερμάτιον ἐν ᾧ τὰ ἱμάτια ἐμβάλλεται.
84 σκληφ⟨ρ⟩ός (Pl. Euthd. 271b). ὁ τῷ μὲν χρόνῳ πρεσβύτερος, τῇ δὲ ὄψει νεώτερος δοκῶν.
85 σκολύθρια (Pl. Euthd. 278b). ταπεινὰ διφρία. ἢ ὑποπόδια.
86 κορυδοὶ (cf. Pl. Euthd. 291b) καὶ κορυδαλλοί. ὄρνιθες ὄρτυξι παραπλήσιοι.
87 ἕρκη (cf. Pl. Euthd. 302d). τοὺς οἴκους φασὶ τῶν Ἀθηναίων· ὅθεν Ζεὺς ἕρκιος, ὁ φύλαξ τῆς οἰκίας.
88 φορμίσκων (Pl. Ly. 206e). καλαθίσκων.

---

71 Sch. Pl. *l. l.*; Plt. 283b; Lgg. 896e 72 Sch. Pl. *l. l.* 73 Sch. Pl. *l. l.* 74 Sch. Pl. *l. l.* 75 Sch. Pl. *l. l.*; R. 432b 76 Sch. Pl. *l. l.* 77 Sch. Pl. *l. l.* 78 Sch. Pl. *l. l.*; R. 521e 79 Sch. Pl. *l. l.*; Prt. 335d 80 Sch. Pl. *l. l.* 81 Sch. Pl. *l. l.* 82 Sch. Pl. *l. l.*; Chrm. 161e 83 Sch. Pl. *l. l.* 84 Sch. Pl. *l. l.* 85 Sch. Pl. *l. l.* 86 Sch. Pl. *l. l.* 87 Sch. Pl. *l. l.* 88 Sch. Pl. *l. l.*

---

123 βλακικῷ *in marg.* L² 124 σωτηρία A σωτηρίας L οὐρανίας Koster 129 τριβώνιον *in marg.* L² γραμμάτια L A γαμμάτια *fort. legend. cf.* Sch. Pl. *l. l.* 131 δολιχοδρόμοι *in marg.* L² 134 στλεγγύς *in marg.* L² 136 λήκυθος ἄγγος *in marg.* L² μῦρον L A 138 σκληφρός Pl. *l. l. et* Sch. σκληφός L A *et in marg.* L² 140 σκολύθρια *in marg.* L² ταπεινὰ L ταπτηνὰ A δίφρια L A 141 κορυδοί *in marg.* L² κορυδαλλοί L κορυδαλοί A 144 φορμίσκων Pl. *l. l. et* Sch. πορμίσκων L A

89 ἀρτιασμὸς καὶ ἀρτιάζειν (cf. Pl. Ly. 206e). ἔστι τὸ δραξάμενον ἀστραγάλων ἤ τινων ἄλλων ἐξετάζειν τὸν συμπαίζοντα πότερον ἀρτίους ἢ περιττοὺς κατέχει.

90 ἐπηλυγισάμενος (Pl. Ly. 207b). ἐπικρυψάμενος· ἡ λύγη γὰρ ἡ σκιά.

91 παιδοτρίβης (cf. Pl. Ly. 207d). ἀλείπτης, γυμναστής.

92 αἰεὶ γηράσκω πολλὰ διδασκόμενος (cf. Pl. Amat. 133c; Sol. fr. 18 West).

93 γέρρα (cf. Pl. La. 191c). τὰ σκεπάσματα πάντα οἱ Ἀττικοὶ λέγουσι. τινὲς δὲ τὰ δέρματα· ἔστι δέ τινα καὶ Περσικά, οἷς ἀντὶ ἀσπίδων ἐχρῶντο. οἱ δὲ τὰς σκηνάς, καὶ γερροφόρους τοὺς τὰ εἰρημένα φέροντας.

94 αἰξωνεύεσθαι (cf. Pl. La. 197c). τὸ βλασφημεῖν· ἀπὸ Αἰξωνίδος φυλῆς Ἀθηναίων, οἳ βλάσφημοι ἐκωμῳδοῦντο.

95 πένταθλος (cf. Pl. Amat. 135e). ἀγών· πέλτη, σίγυννος, ἅλμα, δίσκος καὶ δρόμος· σίγυννός ἐστι δόρυ ξυστόν· παρ' Ἡροδότῳ (V 9) δὲ ὁλοσίδηρον ἀκόντιον. πέλτη δὲ ἀσπὶς τετράγωνος ἴτυν οὐκ ἔχουσα.

96 ἐντέτηκεν (Pl. Mx. 245d). ἐγκεκόλληται, πέπηγεν.

97 Λεχεώς (cf. Pl. Mx. 245e). ἐπίνειον Κορίνθου, ὥσπερ ὁ Πειραιεὺς Ἀθηναίων.

98 τὸ γῆρας ὑμνοῦσιν ὡς κακῶν αἴτιον (cf. Pl. R. 329b). ἀντὶ τοῦ μέμφονται, κατ' εὐφημισμόν.

99 τήθη (cf. Pl. R. 343a). ἡ μάμμη. τίτθη ἡ τροφός.

100 κορυζῶντα (Pl. R. 343a). μωραίνοντα, μυζῶντα· κόρυζα γὰρ ἡ μύξα, ἣν Ἀττικοί φασι κατάρρουν.

101 πράγματα ἔχειν (Pl. R. 347d). φροντίδας· ἐξ οὗ καὶ πολυπράγμων ὁ φροντιστής.

102 τέγγεσθαι (Pl. R. 361c). ἐνδιδόναι, εἴκειν, βρέχεσθαι.

103 σμινύην (Pl. R. 370d). σκαφίον. τινὲς δὲ ἀξίνην ἐκ τοῦ ἑτέρου μέρους δικελλοειδῆ.

---

89 Sch. Pl. *l. l.*;Sch. Areth. ad Pl. *l. l.* 90 Sch. Pl. *l. l.* 91 Sch. Pl. *l. l.*; R. 389c; Min. 318a 92 Sch. Pl. *l. l.*; La. 188b 93 Sch. Pl. *l. l.* 94 Sch. Pl. *l. l.* 95 Sch. Pl. *l. l.* 96 Sch. Pl. *l. l.* 97 Sch. Pl. *l. l.* 98 Sch. Pl. *l. l.*; R. 549c; Criti. 118b; Lgg. 871a 99 Sch. Pl. *l. l.* 100 Sch. Pl. *l. l.* 101 Sch. Pl. *l. l.* 102 Sch. Pl. *l. l.* 103 Sch. Pl. *l. l.*

---

145 ἀρτιάζειν *in marg.* L[2] ἀρτιασμὸς Sch. Pl. *l. l.* ἀρτεασμὸς L ἀρτιδακρὸς A 146 περιττοὺς L περισσοὺς A 148 ἐπηλυγισάμενος Pl. *l. l.* *et* Sch. ἐπηλυγασάμενος L A 149 γυμναστής L *e c.* A λυμναστὴς L *a. c.* 150 αἰεὶ L *e c.* A ἀεὶ L *a. c.* 152 γέρρα L *e c.* τέρρα L *a. c.* A 154 γερροφόρους L τερροφόρους A 161 Λεχεώς L A Λέχαιον *fort. legend. cf.* Sch. Pl. *l. l.* Πειραιεὺς L Πειραστεὺς A 164 εὐφημισμόν A εὐφημησμόν L 165 τητθὴ τίτθη *in marg.* L[2] τήθη A τητθή L 171 σμινύην *in marg.* L[2] σκαφεῖον L A

104 ἄλφιτα (Pl. R. 372 b). τὰ ἐκ κριθῶν ἄλευρα. ἄλευρα δὲ τὰ ἀπὸ τῶν πυρῶν.

105 μάξαντες (Pl. R. 372 b). ζυμώσαντες.

106 φλεγμαίνουσαν (Pl. R. 372 e). τρυφῶσαν, ἐπηρμένην, μεγαλαυχοῦσαν.

107 κόμμι (cf. Pl. R. 373 c.). λέγεται τὸ ἐκ δένδρων δάκρυον, ᾧ χρῶνται αἱ γυναῖκες πρὸς τὸ μὴ διαχεῖσθαι τὰς τρίχας αὐτῶν ἀλλ' εἶναι συνημμένας.

108 εἱλήσεων (Pl. R. 380 e). τῶν ⟨ὑπὸ⟩ τοῦ ἡλίου ἐκκαύσεων.

109 ἔνι (Pl. R. 382 d). Ἀττικῶς, ἀντὶ τοῦ ἔστιν.

110 ἐνέρους (Pl. R. 387 c). νεκρούς, ἀπὸ τοῦ ἐν τῇ γῇ κεῖσθαι.

111 ἀλίβαντας (Pl. R. 387 c). τόπος ἐν Ἅιδου, διὰ τὴν ἀμεθεξίαν τῶν νεκρῶν.

112 ἀπερεῖν (Pl. R. 392 b). ἀπαγορεύειν.

113 ἡ ἁπλότης. κατὰ μὲν μουσικὴν σωφροσύνην ἐμποιεῖται ταῖς ψυχαῖς, κατὰ δὲ γυμναστικὴν ὑγεῖαν ἐν σώματι (cf. Pl. R. 404 e).

114 ἡ ποικιλία (Pl. R. 404 e). κατὰ μὲν μουσικὴν ἀκολασίαν ἐμποιεῖ ταῖς ψυχαῖς, κατὰ δὲ γυμναστικὴν νόσον σώματος (cf. Pl. R. 404 e).

115 δευσοποιόν (Pl. R. 429 e). οὐδετέρως, ἔμμονον, δυσαπόβλητον· ἀρσενικῶς δὲ τὸν βαφέα.

116 ἐκπλήττομαι. τὸ θαυμάζω. καταπλήττομαι δὲ τὸ φοβοῦμαι.

117 τετριγυῖα. ἐπὶ ψυχῆς καὶ νυκτερίδων, ῐ· ἐπὶ δὲ χελιδόνων, ῆ· ἀπὸ τοῦ τρῶ.

118 τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν τοῦ εἶμι ἀεὶ προπαροξύνονται, εἰ προσλάβωσι τὸ ᾱ, οἷον προσίασιν, ἀπίασιν· ὅσα δὲ γίνονται ἀπὸ τοῦ ἵημι, προπερισπῶνται, οἷον ἀφιᾶσιν.

119 τὸ ἄπωθεν πάντοτε μέγα.

120 ὅπερ ἐγκώμιον ἐπὶ ἀνθρώπων, τοῦτο ὕμνος ἐπὶ θεοῦ.

121 ἐκεχειρίας. ἀναπαύσεως, ἀπραξίας.

122 σχολή. ἡ ἡσυχία καὶ ἠρεμία, ὡς φαμὲν ἐπὶ σχολῆς ποιῶ τόδε, τουτέστι μετὰ ἠρεμίας καὶ ἡσυχίας.

123 ἄδεια. λέγεται ἡ ἀφοβία, ὥς φαμεν ἔξεστί μοι βαδίσαι τὴν ὁδὸν ἐπ' ἀδείας, τουτέστιν ἀδεῶς καὶ ἀφόβως.

124 καὶ σχολάζω τὸ ἠρεμῶ καὶ ἡσυχίαν ἔχω, ὅπερ συντάσσεται μετὰ γενικῆς, ὡς τὸ σχολάσας τῶν κοσμικῶν πραγμάτων, τουτέστιν ἠρεμίαν σχών. σχολάζω

---

104 Sch. Pl. *l. l.* 105 Sch. Pl. *l. l.* 106 Sch. Pl. *l. l.* 107 Sch. Pl. *l. l.* 108 Sch. Pl. *l. l.* 109 Sch. Pl. *l. l.* 110 Sch. Pl. *l. l.* 111 Sch. Pl. *l. l.* 112 Sch. Pl. *l. l.* 113 Sch. Pl. *l. l.* 114 Sch. Pl. *l. l.* 115 Sch. Pl. *l. l.*

---

173 ἄλφιτα ἄλευρα *in marg.* L² 175 τρυφῶσαν *cf.* Sch. Pl. *l. l.* τυφῶσαν L A 176 κόμμι *in marg.* L² 178 τῶν ⟨ὑπὸ⟩ τοῦ *cf.* Sch. Pl. *l. l.* τῶν τοῦ L A 188 *deficit* A *cum lemm. Cra., de quibus cf.* 61—62; 80; 94—95 189 ἐκπλήττομαι *in marg.* L² ἐκπλήττομαι *in ecth.* L 190 τετριγυῖα *in marg.* L² 191 τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν τοῦ εἶμι *in marg.* L² 194 τὸ ἄπωθεν *in marg.* L² 196 ἐκεχειρίας *in marg.* L² 197 σχολή *in marg.* L² 199 ἄδεια *in marg.* L² 201 σχολάζω *in marg.* L²

καὶ τὸ προσμένω, ὅπερ συντάσσεται μετὰ δοτικῆς, ὡς τὸ σχολάζει τοῖς πόνοις. ἀσχολία δὲ ἡ φροντὶς καὶ ἡ μέριμνα.

125 μεθῆκε τόδε τὸ πρᾶγμα, ὃ ταῖς χερσὶ περιεῖχεν, εἶτ' ἀπέρριψεν· ἀφῆκε δὲ ἐπὶ κτημάτων, οἷον ἀφῆκε τὸν ἀγρὸν μηλόβοτον, ἀφῆκε τῆς φυλακῆς τὸν δέσμιον· τάττεται δὲ καὶ ἐπὶ βέλους, οἷον ἀφῆκε τὸ βέλος· καὶ ἐπὶ φωνῆς, οἷον ἀφῆκε φωνήν.

126 πτοοῦμαι. σημαίνει τὸ δέδοικα· ἠπτόημαι δὲ καὶ ἠπτόηται εἰς τόδε τὸ πρᾶγμα, οἷον ὁ νέος ἐπτόηται περὶ παίγνια, τουτέστι πρόσκειται τοῖς παιγνίοις· ᾧ δὲ πρόσκειταί τις, δέδοικε μή πως ἀπολέσῃ αὐτό.

127 ἀβασάνιστος. ἀγύμναστος ἢ ἀνεξέταστος. εἴρεται δὲ ἀπὸ τῆς βασάνου τῆς χρυσοχοικῆς λίθου, ἐν ᾗ δοκιμάζουσι τὸ χρυσίον.

128 ἁβροδιαίτῃ. τρυφερᾷ ζωῇ καὶ ἁπαλῇ.

129 ἄπαγε. παῦσαι, μὴ γένοιτο.

130 ἀκρότομος. σκληρὸς καὶ ὑψηλός.

131 ἀσέλγεια. πορνεία, ἀκαθαρσία (N. T. Ep. ad Gal. 5, 19; ad Cor. II 12, 21). παρῆκται δὲ ἀπὸ τῆς πόλεως Σέλγης. πόλις δέ ἐστι τῆς Πισιδίας, ὅπου κακῶς ἔζων οἱ ἄνθρωποι καὶ ἀλλήλοις ἐκοινώνουν. κατ' ἐπίτασιν οὖν τὸ ἀσελγαίνω.

132 βαλανάγρα. ἡ κλείς, παρὰ τὸ ἀγρεύειν τὴν βάλανον. βάλανος δέ ἐστι τὸ εἰς τὸν μοχλὸν σιδήριον, ὃ καλοῦμεν μάγγανον.

133 βλεπεδαίμων. ὁ διεστραμμένος τὰς ὄψεις καὶ οἷον ὑπὸ δαίμονος πεπληγμένος.

134 δῆθεν. προσποίησιν μὲν ἔχει ἀληθείας, δύναμιν δὲ ψεύδους.

135 δωδεκαμήχανος. πόρνη δώδεκα σχήμασι χρωμένη.

136 ἐγκεκοισυρωμένη. τρυφῶσα· ἀπὸ Κοισύρας γυναικὸς πλουσίας, Ἀλκμαίωνος γυναικός.

137 ἐν θέρει τὴν χλαῖναν κατατρίβεις. ἐπὶ τῶν μὴ καθ' ὥραν τοῖς ἀναγκαίοις χρωμένων.

138 ἐπανακροῦσαι. ἀπὸ τῶν ἐρετῶν, ὅταν στρέψαντες τὴν πρύμναν ἀνακρούσωνται, ἵνα τὸ πλοῖον ὀπίσω ἀναχωρήσ⟨ῃ⟩.

139 ἐπίτιμον. τὸ ἔνδοξον, τὸ ἔντιμον· οὕτω δηλοῖ.

140 ἐπαφρόδιτος. ἐπιχαρής, ἡδύς.

---

127 Su. A 21 128 Su. A 82 129 Su. A 2861 130 Su. A 1021 131 Su. A 4140 132 Su. B 61 133 Su. B 328 134 Su. Δ 377 135 Su. Δ 1442 136 Su. E 87 137 Su. E 1359 138 Su. E 1952 139 Su. E 2701. 140 Su. E 2003

---

205 μεθῆκε ἀφῆκε *in marg.* L$^2$ 209 πτοοῦμαι *in marg.* L$^2$ 212 ἀβασάνιστος *in marg.* L$^2$ 216 ἀκρότομοι *in marg.* L$^2$ 217 ἀσέλγεια *in marg.* L$^2$ 223 βλεπεδαίμων Su. B 328 βλεποδαίμων L 225 προσποίησιν L a. c. προσπρο[illegible] L p. c.
[illegible]

141 ἐπωφελία. ὁ τόκος ὑπὸ Πλάτωνος (cf. Pl. Lgg. 843c).

142 ἠκαιρεῖσθε. ἐκωλύεσθε, καιρὸν οὐκ εἴχετε.

143 ὁ Ἀποστόλιος· ἥλῳ τὸν ἧλον ἐκκρούεις (Diogen. V 16, CPG I 253). ἀντὶ τοῦ ἁμαρτήματι ἁμάρτημα σπεύδεις ἐξελάσαι· τὸ δὲ οὐχ οἷόν τε.

144 Ἡράκλεις. ἐπίφθεγμα θαυμαστικόν.

145 ἡράκλειαν λίθον. τὴν μαγνησίαν.

146 ἐσκληκότα. προσλιπαροῦντα. μετῆκται δὲ ἀπὸ τῶν προσξηραινομένων· οἷον προσεσκληκότα.

147 φίλον. τὸ προσφιλές, τὸ ἴδιον, καὶ τὸ σύνηθες.

148 παίζω. ἀμεταβάτως, προσπαίζω δὲ μεταβατικῶς δοτικῇ, ὡς παρὰ Συνεσίῳ (Ep. 44, Hercher 656)· μηδὲ προσπαίζειν με νομίσῃς σαυτῷ· καὶ παρὰ Φιλοστράτῳ (Imag. 364, 9 Kayser) ἐπιπαίζω δοτικῇ· ὧν δρέπεσθαι καὶ τὰς Νηρηΐδας εἰκός, ὅταν τῇ θαλάττῃ ἐπιπαίζωσιν.

149 ἡ σύνθετος ἀντωνυμία ἐπὶ ἐνεργείας καὶ πάθους λαμβάνεται, οἷον τύπτω ἐμαυτόν, ἐνέργεια καὶ πάθος· καὶ ἐπὶ ἰδίου πράγματος, οἷον αἱ χεῖρες ἐμαυτοῦ.

150 τὸ παύομαι. μετὰ μετοχῆς, καὶ μετὰ ἀπαρεμφάτου, καὶ μετὰ γενικῆς.

151 συκοφάντης. ὁ ἀποδεικνύων τὰ μὴ ὄντα.

152 ἀπολογοῦμαι. τῷ δεῖνι.

153 ἐπικαλέσασθαι. τὸ ὀνομάσαι, ἐκκαλέσασθαι τὸ εἰς ἔλεον, προκαλέσασθαι τὸ εἰς πόλεμον.

154 τὸ θαρρῶ. ὅτε σημαίνει τὸ ἐλπίζω, δοτικῇ· ὅτε δὲ τὸ ἀποτολμῶ, αἰτιατικῇ.

155 τὸ ἐλπίζω. μετὰ ἀπαρεμφάτου, ἢ μετὰ ἐνεστῶτος καὶ μέλλοντος πρώτου.

156 προστίθημί σοι τόδε, προστίθεμαι δὲ τοῖσδε.

157 θρασύτης. ἡ ἄλογος ὁρμή, θράσος ἐπὶ κακοῦ, θάρρος ἐπὶ καλοῦ.

158 δειλία. ὁ παράλογος φόβος.

159 νόμος. ἡ ἔγγραφος συνήθεια, συνήθεια δὲ ἄγραφος νόμος.

160 λογίζομαι. τὸ ἀναλογίζομαι καὶ τὸ ἀριθμῶ· παρὰ δὲ τοῖς κοινοῖς τὸ ἡγοῦμαι.

161 ἡ ἐπί. ὅτε δηλοῖ κίνησιν, αἰτιατικῇ, ὅτε δὲ αἰτίαν, δοτικῇ.

162 πρότερος ἐκ δύο, πρῶτος ἐκ πολλῶν· πότερος ἐκ δύο, τίς ἐκ πολλῶν· θάτερος καὶ ἕτερος ἐκ δύο, εἷς ἐκ πολλῶν· οὐδέτερος ἐκ δύο, οὐδείς ἐκ πολλῶν.

---

141 Su. E 2851 142 Su. H 163 143 Su. H 259 144 Su. H 470 145 Su. H 459 146 Su. E 3151.

---

237 ἥλῳ τὸν ἧλον ἐκκρούεις *in marg.* L² 239 Ἡράκλεις *in marg.* L² 243 φίλον *in marg.* L² 244 παίζω *in marg.* L² μεταβατικῶς L *e c.* 248 αἱ ἀντωνυμίαι *in marg.* L² 250 παύομαι *in marg.* L² 253 ἐπικαλέσασθαι ἐκκαλέσασθαι *in marg.* L² 255 θαρρῶ *in marg.* L² 256 ἐλπίζω *in marg.* L² 258 θρασύτης *in marg.* L² 260 νόμος συνήθεια *in marg.* L² 261 λογίζομαι *in marg.* L² 264 πρότερος πρῶτος τίς θάτερος εἷς οὐδέτερος *in marg.* L²

## $L^2$ fol. 43b infra

1 προσίασι καὶ προίασιν. εἶμι. τὸ πληθυντικόν, ἴμεν ἴτε ἴσι καὶ ἴασι. ἵημι τὸ πέμπω, ὅπερ μετὰ προθέσεως ἀεὶ γράφεται· ἵεμαι δὲ τὸ ὁρμῶ.

2 ἰάσιμος. ὁ δυνάμενος θεραπευθῆναι.

3 ἱερομηνία. ἡ ἱερὰ ἡμέρα τοῦ μηνός, τινὰς γὰρ ἡμέρας τοῦ μηνὸς ἱερὰς εἶχον Ἕλληνες.

## $L^2$ fol. 44b infra

4 λάπτω. τὸ ἀναρροφῶ· κυρίως ἐπὶ κυνός.

5 τὸ ληρεῖν τοῦ φλυαρεῖν διαφέρει· ληρεῖν μὲν γὰρ λέγεται, ὅταν τις ὑπὸ μέθης ἢ ὑπὸ γήρως λέγει τινὰ ῥήματα ἀνάρμοστα, ὡς τὸ κοινῶς λεγόμενον παραλαλεῖν, ὅπερ λέγεται καὶ παραληρεῖν· φλυαρεῖν δὲ τὸ περισσὰ καὶ μάταια λέγειν ἢ τὸ ἀδολεσχεῖν.

6 λέβης. τὸ κοινῶς χερνίβιν.

7 λαγχάνω. ἀττικῇ τὸ κληροῦμαι· μεταλαγχάνω δὲ τὸ ἑξῆς.

8 λογεύς. ὁ λογογράφος.

9 Λυβύη καὶ ὁ ἀπ' ἐκείνης λύβης, Μαγνησία καὶ μάγνης, Φρυγία καὶ φρῦξ, Θράκη καὶ θρᾶξ, Καρία καὶ κάρης . . . (litterae quae legi iam non possunt).

## $L^2$ fol. 45a infra

10 προσλιπαρῶ. λέγεται τὸ μετὰ πολλῆς βίας καὶ δακρύων ἱκετεύω, λιπαρῶς δὲ ἐπίρρημα ἀντὶ τοῦ βίαιον καὶ ἐπιμόνως.

11 παροιμία λεγομένη· ὅταν διὰ πταίσματος πταῖσμα σκιάζωμεν, διὰ μείζονος τοὔλαττον· ὁμοίως καὶ πάτταλος παττάλῳ ἐκκρούεται, καὶ τὸ δεινὸν ὑφ' ἑτέρου καλύπτεται.

## $L^2$ fol. 45b infra

12 γραμμὴ καὶ βαλβὶς καὶ ἀφετηρία τὸ αὐτὸ σημαίνουσι.

---

3 ἰάσημος $L^2$

## Index Auctorum


Ael. V. H. 3, 40 11
Diogen. V 16
(CPG I 253) 143
Euripides
(Nauck fr. 726) 9
Hdt. V 9 9
NT Ep. ad Gal. 5, 19;
ad Cor. II 12, 21 131
Philostr. Imag. 364, 9
(Kayser) 148
Sol. (West. fr. 18) 92
Syn. Ep. 44
(Hercher 656) 148

### Plato

Euthphr.
2a 25
2a 26
4a 27
4c 28
5a 29
12b 30
Cra.
394e 31
395a—b 32
395b—c 33
395c 34
395c—d 35
396a 36
396b 37
396b—c 38
397d 39
398c—d 40
399c 41
399d—400b 42
400b—c 43
401c—402a 44
402c—d 45
402e—403a 46
403a, 404b, 403e 47
404b 48
404b—c 49
405a—d 50
406b 51
406c 52
407b 53
407c 54
407d 55
408a—b 56
408b—d 57
409a 58
409a—b 59
409c 60
410b 61
411d 62
414a 63
414b—c 64
415b 65
415c—d 66
420a 67
419d 68
437a 69
Tht.
162a 1
166c 2
166d 3
Sph.
259d 70
Plt.
257a 71
265b 72
285d 73
298e 74
307c 75
Phlb.
33c, 34a 76
56c 77
56e 78
Smp.
174a 4
190d 5
193a 6
194b 7
206d 8
213e 9
214a 10
215b 11
220b 12
221e 13
219b 79
Phdr.
228a 14
228c 15
228d 16
230a 17
234d—e 18
237a 19
257c, 260e, 261a—b 20
Amat.
133c 92
135e 95
La.
191c 93
197c 94
Ly.
206e 88
206e 89
207b 90
207d 91
Euthd.
271b 84
278b 85
291b 86
302d 87
Prt.
335e 80
349e 81
Grg.
493a 43
Hp. Mi.
368c 82
368c 83
Mx.
245d 96
245e 97
R.
617c 21
329b 98
343a 99
343a 100
347d 101
361c 102

370d 103
372b 104
372b 105
372c 106
373c 107
380c 108
382d 109
387c 110
387c 111
392b 112
404c 113
404c 114
429e 115
Criti.
110d 23
111c 24
Lgg.
843c 141
Ep.
363a 22


## Index Glossarum


ἀβασάνιστος 127
ἀβροδιαίτη 128
Ἀγαμέμνων 32
ἄγετε δή, ὦ Μοῦσαι 19
ἄδεια 123
ἀήρ 61
Ἀθηνᾶ 53
Ἅιδης ὁ καὶ Πλούτων 47
αἰεὶ γηράσκω πολλὰ διδασκόμενος 92
αἰξωνεύεσθαι 94
ἀκρότομος 130
ἀλιβάντας 111
ἄλφιτα 104
ἀμῇ γέ πῃ 70
ἀμῶς γέ πως 15
ἄνθρωπος 41
ἄπαγε 129
ἀπερεῖν 112
ἁπλότης 113
Ἀπόλλων 50
ἀπολογοῦμαι 152
ἄπωθεν 119
ἀρετή 66
Ἄρης 55
ἀρνακίδες 12
Ἄρτεμις 51
ἀρτιασμὸς καὶ ἀρτιάζειν 89
ἀσέλγεια 131
ἀσκωλιάζοντες 5
ἀστραπή 60
Ἀτρεύς 33
αὐτοσχεδιάζοντα 29
ἀφετηρία $L^2$ 12
ἀφῆκε 125

βαλανάγρα 132
βαλβίς $L^2$ 12
βέβαιον 69
βλακικῷ 75
βλαύτας ὑποδεδεμένον 4
βλεπεδαίμων 133

γέρρα 93
γραμμή $L^2$ 12
γραφή 26

δειλία 158
δευσοποιόν 115
δῆθεν 134
Δημήτηρ 48
δίκη 25
Διόνυσος 52
διωλύγιος φλυαρία 1
δολιχοδρόμοι καὶ δρομοκήρυκες 80
δωδεκαμήχανος 135

ἐγκεκοισυρωμένη 136
ἐγκώμιον 120
εἶεν 71
εἱλήσεων 108
εἶμι 118
εἷς 162
ἐκεχειρίας 121
ἐκπλήττομαι 116
ἐλπίζω 155
ἐνδύματα ἀμόργινα 22
ἐνέρους 10
ἐν θέρει τὴν χλαῖναν κατατρίβεις 137
ἔνι 109
ἐντέτηκεν 96
ἐπανακροῦσαι 138
ἐπαφρόδιτος 140
ἐπηλυγισάμενος 90
ἐπί 161
ἐπιθυμία 68
ἐπικαλέσασθαι 153
ἐπίτιμον 139
ἐπωφελία 141
ἕρκη 87
Ἑρμῆς 56
ἐσκληκότα 146
ἕτερος 162

Ζεύς 36

ἠκαιρεῖσθε 142
ἥλιος 58
ἥλῳ τὸν ἧλον ἐκκρούεις 143
ἦ που 27; 73
Ἥρα 49
ἡράκλειαν λίθον 145
Ἡράκλεις 144
ἥρως 40
Ἥφαιστος 54

θαρρῶ 154
θάτερος 162
θεός 39
θῆλυ 63
Θρᾴκη $L^2$ 9
θρασύτης 157

ἰάσιμος $L^2$ 2
ἱερομηνία $L^2$ 3
ἵμερος 67
ἵνα αἰδώς 30
Ἰσθμός 23
ἴτας 81

κακία 65
Καρία $L^2$ 9
κατὰ σχολήν 14
κόμμι 107
κορυδοὶ καὶ κορυδαλλοί 86
κορυζῶντα 100
κοτύλη 10
Κρόνος 37
Κρόνος καὶ 'Ρέα 44
κύρβεσι 74

λαγχάνω $L^2$ 7
λάπτω $L^2$ 4
Λάχεσι 21
λέβης $L^2$ 6
Λεχεώς 97
λήθη 76
ληρεῖν $L^2$ 5
λήκυτος 83
λίσπαι 6
λογεύς $L^2$ 8
λογίζομαι 160
λογογράφους 20
Λυβύη $L^2$ 9

Μαγνησία $L^2$ 9
μάξαντες 105
μεθῆκε 125

νεαλής 72
νόμος 159

ὀκρίβας 7
ὄνοι κανθήλιοι 13
'Ορέστης 31

οὐ μόνον αὐτὸς ὑηνεῖς 2
οὐδείς 162
οὐδέτερος 162
Οὐρανός 38

παιδοτρίβης 91
παίζω 148
Πάν 57
παροιμία $L^2$ 11
παύομαι 150
πελάτης 28
Πέλοψ 34
πένταθλος 95
ποικιλία 114
πολλοῦ δέω τὸ μὴ φάναι εἶναι 3
Ποσειδῶν 46
πότερος 162
πράγματα ἔχειν 101
προίασιν $L^2$ 1
προσαγώγιον 77
προσίασι $L^2$ 1
προσλιπαρῶ $L^2$ 10
προσμένω 124
προστίθεμαι 156
προστίθημι 156
πρότερος 162
πρῶτος 162
πτοοῦμαι 126

σᾶ 24
Σάτυροι 11
σελήνη 59
σκληφ(ρ)ός 84
σκολύθρια 85
σμινύην 103
σπαργῶντι 8
στλεγγίς 82
συκοφάντη 151
συνεβάκχευσα 18
σύνθετος ἀντωνυμία 149
σχολάζω 124
σχολή 122
σῶμα 43

Τάνταλος 35
τέγγεσθαι 102
τετριγυῖα 117
τευταζόντων 78
τέχνη 64
τήθη 99
Τηθύς 45
τίς 162
τρίβων 79
Τυφῶνος πολυπλοκώτερον 17

ὕμνος 120
ὑμνοῦσιν 98

φίλον 147
φλεγμαίνουσαν 106
φλυαρεῖν $L^2$ 5
φορμίσκων 88
φρόνησις 62
Φρυγία $L^2$ 9

ψυκτήρ 9
ψυχή 42

ὦ φιλότης 16